A Στρ. Οὐκ ἄῤῥεν ὑμῖν ἐστιν. Σω. οὐδαμῶς γ' ἐπεὶ
Πῶς ἂν καλέσειας ἐντυχὼν Ἀμυνίᾳ;
Στρ. Ὅπως ἄν; ὡδὶ, δεῦρο δεῦρ' Ἀμυνία.
Σω. Ὁρᾷς; γυναῖκα δὴ τὴν Ἀμυνίαν καλεῖς.
Στρ. Οὔκουν δικαίως ἥτις οὐ στρατεύεται.
Ἀτὰρ τί ταῦθ' ἃ πάντες ἴσμεν μανθάνω;
B Σω. Οὐδὲν μὰ Δί'. ἀλλὰ κατακλινεὶς δευρί. Στρ. τί δρῶ;
Σω. Ἐκφρόντισόν τι τῶν σεαυτοῦ πραγμάτων.
Στρ. Μὴ δῆθ' ἱκετεύω σ' ἐνθάδ'. ἀλλ' εἴπερ γε χρὴ
Χαμαί μ' ἔασον αὐτὰ ταῦτ' ἐκφροντίσαι.
Σω. Οὐκ ἔστι παρὰ ταῦτ' ἄλλα. Στρ. κακοδαίμων ἐγὼ
C Οἵαν δίκην τοῖς κόρεσι δώσω τήμερα.
Σω. Φρόντιζε δὴ καὶ διάθρει,
Πάντα τρόπον τε σαυτὸν
Στρόβει πυκνώσας.
Ταχὺς δ' ὅταν γ' εἰς ἄπορον πέσῃς,
Ἐς ἄλλο πήδα νόημα φρενί.
Ὕπνος δ' ἀπέστω γλυκύθυμος ὀμμάτων.
Στρ. Ἰατταταῖ. ἰατταταῖ.
D Σω. Τί πάσχεις; τί κάμνεις;
Στρ. Ἀπόλλυμαι δείλαιος, ἐκ τοῦ σκίμποδος.
Δάκνουσί μ' ἐξέρποντες οἱ Κορίνθιοι.
Καὶ τὰς πλευρὰς δαρδάπτουσι.
Καὶ τὴν ψυχὴν ἐκπίνουσι.
Καὶ τοὺς ὄρχεις ἐξέλκουσι.
Καὶ τὸν πρωκτὸν διορύττουσι.

A *ST. Non sunt hæc vobis masculina? SO. neutiquam:*
*Nam si tu in Amyniam incidas, quomodo vocas?*
*ST. Hoc scilicet modo: age huc, huc ades Amynia.*
*SO. Vidésne? Amyniam vocas tu fœminam.*
*ST. Meritò: ut qui proiectis armis non militat.*
B *Sed quorsum hæc disco: nota quæ sunt omnibus?*
*SO. Nequaquam, per Iouem: sed age, accumbe. ST. quid agam?*
*SO. In curam aliquam tuarum rerum incumbito.*
*ST. At obsecro, ne in hoc lecto: sed si ita opus est,*
*Sinito me humi iacentem aliquid meditarier.*
*SO. At præter hæc non sunt alia loca. ST. miserum*
C *Me, quas hodie pœnas exoluam cimicibus.*
*SO. Excogita & dispice quid:*
*Teq; met ipsum in omnes*
*Conuerte partes:*
*Et sicubi in rem dubiam incides,*
*Ibi tuam mentem abarce aliò:*
*Sed somnus hic absit ab oculis tuis.*
*ST. Eheu, hei: proh dolor, hei mihi.*
D *SO. Quid est? quid mali fers?*
*ST. Pereo miser: nam prorepentes è thoro*
*Me Cimicenses ciues infestant admodum,*
*Et costas morsu discerpunt:*
*Et vitam è membris exugunt:*
*Et testes ipsos euellunt:*
*Et totum perfodiunt anum:*

E Σχόλια. Γυναῖκα τὴν Ἀμυνίαν.] πρὸς τὴν κατάληξιν τοῦ ὀνόματος ἔπαιξε. καὶ εἰς διαβολὴν τοῦ ἀνδρός. εἴρηται μὲν εἰς δειλίαν μόνον καὶ μαλακίαν. Κράτης δὲ ἐν Δεῤῥίφοις ὡς ἀλαζόνα καὶ κόλακα καὶ συκοφάντην. Εὔπολις δὲ ὡς παραπρεσβεύτην. ὅπερ καὶ ἐν τοῖς Σφηξὶ φαίνεται. Κατακλινείς.] τοῦτο κοινόν. τὸ γὰρ κατακλιθείς, Ἀττικόν. Ἰωνικῶς δὲ κατακλινθείς. Ἐκφρόντισόν τι.] ἀντὶ τοῦ σκέψαι καὶ διανοήθητι περὶ τῶν ἰδίᾳ σοι συμφερόντων πραγμάτων. Μὴ δῆθ' ἱκετεύω.] παρεπιγραφή. ποιήσει γὰρ τὸ προσαχθέν. εἶτα καταβρωθείς, ἀρνηθήσεται. Οὐκ ἔστι παρὰ ταῦτ' ἄλλα.] εἰ μὴ ἐπὶ τοῦ ἀσκάντου σκέψῃ. τοῦτό φησι πάντως δέδοκται. οὐκ ἀνίημί σε ἑλόντα ποιῆσαί τι. Τήμερα.] ὡς ἐν Ὁλκάσιν. ἰὼ Λακεδαῖμον. τί ἄρα πείσῃ τήμερα ὁ σημερινός. καὶ ἔστι τεταγμένως ἐπὶ σώματος. τὸ δὲ τήμερον ἐπὶ χρόνου λέγεται. Φρόντιζε δὴ καὶ διάθρει.] ἐκάθισεν αὐτὸν ἐπὶ τοῦ ἀσκάντου. τὸ δὲ δὴ ἰσοδυναμεῖ τῷ νῦν. ἔκθεσις τῆς διπλῆς ἀμοιβαία ἐκ στίχων καὶ κώλων δύο πρὸς τοῖς εἴκοσιν. ὧν τὸ πρῶτον δίμετρον ἐκ διϊάμβου καὶ χοριάμβου. τὸ δεύτερον δίμετρον ἐκ χοριάμβου καὶ βακχείου, τὸ τρίτον ἰαμβικὸν πενθημιμερές. τὸ τέταρτον ἐκ διϊάμβου καὶ χοριάμβου τρίμετρον βραχυκατάληκτον. τὸ πέμπτον ἐκ διϊάμβου καὶ τροχαίου ταυτοπαθές· τὸ ἕκτον τρίμετρον ἐκ διϊάμβων καὶ κατὰ τὸ μέσον διτροχαίου. τὸ ἕβδομον, ἰαμβικὸν δίμετρον ἀκατάληκτον. G τὸ ὄγδοον δίμετρον ἀντισπαστικὸν βραχυκατάληκτον ἢ ἐκ δυοῖν βακχείοιν ἀκατάληκτον, τὰ ἑξῆς δύο ἰαμβικὰ τρίμετρα. τὰ δὲ μετὰ ταῦτα ἀναπαιστικὰ δίμετρα καταληκτικὰ εἰς δισύλλαβον πλὴν τοῦ πεντεκαιδεκάτου μονομέτρου ὄντος. ὁμοίως καὶ τοῦ ἑπτακαιδεκάτου καὶ εἰκοστοῦ πρώτου. ἀναπαιστικαὶ γὰρ βάσεις. καὶ τοῦ τελευταίου ἀναπαιστικοῦ μὲν ὄντος ἑφθημιμεροῦς. παροιμιακοῦ δὲ ὡς πολλάκις εἴρηται καλουμένου. ἔστι δὲ καὶ ταῦτα πολυσχημάτιστα. ἐπὶ τῷ τέλει δύο διπλαῖ ὡς ἐν τοῖς προφθᾶσιν. ἰστέον δὲ ὅτι τὰς ἐκθέσεις τῶν διπλῶν οὐκ ἀεὶ διὰ τοῦ αὐτοῦ μέτρου ἐκφέρουσιν, ἀλλὰ καὶ δι' ἑτέρου. ἔστι δ' ὅτε καὶ διὰ F διαφόρων ὡς κἀνταῦθα. Πάντα τρόπον.] τουτέστιν ἐπὶ πολλὰ τὴν διάνοιάν σου στρέφε. Στρόβει,] ἀνάκρινε καὶ δοκίμαζε περίφερε τῇδε κἀκεῖσε ἐπὶ πολλά. πυκνόντι καὶ συνετὸν ποιήσας καὶ φρόνιμον σκεψάμενος. Εἰς ἄπορον πέσῃς.] ἐπειδὰν δέ φησιν εἰς τι ἄπορον πέσῃς, ταχὺ ἐπ' ἄλλο νόημα φρενὸς πήδα. ἄπορον δὲ, οὗ πόρον καὶ λύσιν οὐκ ἔστιν εὑρεῖν. καθάπτεται δὲ τοῦ Σωκράτους ὡς καὶ αὐτοῦ ἐπὶ τοῖς ζητήσεσιν οὕτω ποιοῦντος. ὅταν γὰρ στενοχωρῆται καὶ ἀπορῇ, μεθίσταται εἰς ἕτερον. ὁ γὰρ ὑποτιθέμενος ἄλλῳ, δηλονότι αὐτὸς ἐν πείρᾳ γενόμενος τῶν ὅσα λέγει, ὑποτίθεται. Ἰατταταῖ.] καταπονούμενος ὑπὸ τῶν κόρεων στενάζει ὁ Στρεψιάδης. ἔστι δὲ παρεπιγραφή. κατακλιθεὶς γὰρ καὶ μὴ δυνάμενος ὑπενεγκεῖν, παρεκάλει. Οἱ Κορίνθιοι,] ἴσως αὐτοῖς ἐπέκειντο κατ' ἐκεῖνο καιροῦ οἱ Κορίνθιοι. παρονομάζει δὲ παίζων ἅμα μὲν πρὸς τὸ κόρεων, ἅμα δὲ καὶ διὰ τὸν πόλεμον, ὅτι ἐχθροὶ ἦσαν Ἀθηναίων οἱ Κορίνθιοι. Ψυχὴν ἐκπίνουσιν.] ἰστέον ὅτι